www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΩΝ ΑΓΙΩΝ ΤΡΙΩΝ ΠΑΙΔΩΝ

**Προστατῶν τοῦ Πυροσβεστικοῦ Σώματος**
**τῆς Πατρίδος ἡμῶν**
**Ψαλλομένη τῇ 17ῃ Δεκεμβρίου**
**Ταύτῃ προσετέθη καί ὁ παρακλητικός κανών**
**πρός τούς Ἁγίους**

**Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει**
**ὑπό**
**Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**
**Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας**

**ΕΚΔΟΣΗ ΑΡΧΗΓΕΙΟΥ ΠΥΡΟΣΒΕΣΤΙΚΟΥ ΣΩΜΑΤΟΣ**
**Αθήνα 1983**

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

# Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (Τ.Τ. 140)

ΑΡΙΘ. ΠΡΩΤ. 1061
ΔΙΕΚΠ. 1258

ΑΘΗΝΗΣΙ ΤΗ, 5 [illegible]

ΘΕΜΑ:

Πρός

Τό 'Αρχηγεῖον Πυροσβεστικοῦ Σώματος

'Ενταῦθα

---

Εἰς ἀπάντησιν τοῦ ὑπ' ἀρ. 11608 Φ.80117/16-3-82 ὑμετέρου ἐγγράφου, δι' οὗ ὑποβάλλετε πρός ἔγκρισιν 'Ασματικήν 'Ακολουθίαν "Τῶν Τριῶν ἐν Καμίνῳ Παίδων" προστατῶν τοῦ Πυροσβεστικοῦ Σώματος, ποιηθεῖσαν ὑπό τοῦ 'Οσιολ. Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Συνοδικῇ ἀποφάσει, ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς 1-7-82, κατόπιν εἰσηγήσεως τῆς Συνοδικῆς 'Επιτροπῆς Θ. Λατρείας κ.λ.π., ἐγκρίνομεν ταύτην ὡς καλῶς ἔχουσαν, καθ' ὅσον οὐδέν τό ἀπᾷδον πρός τε τά δόγματα καί τάς παραδόσεις τῆς καθ' ἡμᾶς 'Αγιωτάτης 'Ορθοδόξου 'Εκκλησίας περιέχεται ἐν αὐτῇ καί παρακαλοῦμεν, ὅπως κατά τήν τάξιν ὑποβάλητε ἡμῖν πέντε (5) ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω 'Ι. 'Ακολουθίας διά τό 'Αρχεῖον τῆς ἁρμοδίας Συνοδ. 'Επιτροπῆς Θ. Λατρείας.-

'Επί τούτοις εὐχόμενοι ὑμῖν πᾶσαν ἀπό Θεοῦ Χάριν καί εὐλογίαν, διατελοῦμεν

Μετ' εὐχῶν διαπύρων

ΟΙΝΟΠΟΙΗΣΙΣ

---

Ιδ. 'Επιτρ. Θ. Λατρείας
Παρ' ἡμῖν

---

Ο ΑΡΧΙΓΡΑΜΜΑΤΕΥΣ

ΑΡΧΙΜ. ΤΙΜΟΘΕΟΣ ΤΡΙΒΙΖΑΣ

www.tezaurliturgic.ro

*Δεκεμβρίου ιζ΄.*

**Μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων Τριῶν Παίδων, Ἀνανίου, Ἀζαρίου και Μισαήλ προστατῶν τοῦ Πυροσβεστικοῦ Σώματος τῆς Πατρίδος ἡμῶν.**

**Ἐν τῷ Μικρῷ Ἑσπερινῷ.**
**Ἱστῶμεν στίχους δ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.**
**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Τριάδος τήν δύναμιν λαμπρῶς, Παῖδες οἱ μακάριοι, ἀπ᾿ οὐρανοῦ εἰσδεξάμενοι, ἄφλεκτοι ἔμειναν, τοῦ πυρός ἐν μέσῳ, καί πυρί τῆς πίστεως, κατάφλεξαν ἐχθρῶν τά φρυάγματα οὕς εὐφημήσωμεν, ἵνα τούτων τήν βοήθειαν, ἐν κινδύνοις, ἀρήγουσαν ἔχωμεν.

Τήν δρόσον τοῦ Πνεύματος σαφῶς, Ἀνανία ἔνδοξε, καί Ἀζαρία μακάριε, καί Μισαήλ ὁμοῦ, ἔχοντες πλουσίως, τῆς φλογός ἀνώτεροι, ἐν μέσῳ τῆς καμίνου ἐδείχθητε˙ διό δεόμεθα. Βοηθεῖν ἡμῖν ἑκάστοτε, ἐν ἐκρήξει, πυρός δεινῶς βρέμοντος.

Προστάτας καί φύλακας ὑμᾶς, ἔχοντες μακάριοι, πυρός ὁρμήν οὐ πτοούμεθα, ἀλλά ρωννύμενοι, ὑμῶν τῇ πρεσβεία, πῦρ συμφλέγον ἅπαντα, σβεννύομεν ὑμᾶς μακαρίζοντες, Παῖδες τρισάριθμοι, ὡς μεσίτας πρός τόν Κύριον, καί ἐν πᾶσι, θερμοῖς ἀντιλήπτορας.

Ἀμέμπτως βιώσαντες ἐν γῇ, ὡς τοῦ νόμου φύλακες, καί ἐν καμίνῳ τόν ἄφραστον, τόκον τυπώσαντες, τῆς Ἁγνῆς Παρθένου, Παῖδες παμμακάριστοι, μετήλθετε πρός φῶς τό ἀνέσπερον, Χριστῷ πρεσβεύοντες, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τήν εἰρήνην, καί τό μέγα ἔλεος.

www.tezaurliturgic.ro

*Δόξα. Ἦχος β'.*

Τῶν ἐντολῶν τῇ τηρήσει, τό γεηρόν ἀπόβαλοντες ἄχθος, τῆς ἀφθαρσίας τήν στολήν ἐνεδύθητε, Παῖδες θεόληπτοι· ἔνθεν τό πῦρ ὑμᾶς ᾐδέσθη, ἐν ᾧ ἑστῶτες ἄφλεκτοι, τήν πολυΰμνητον ᾠδήν ᾔδετε, τῷ σώζοντι ὑμᾶς Δεσπότῃ. Ἀλλ' ὦ Ἀνανία, Μισαήλ καί Ἀζαρία, μή παύσησθε πρεσβεύοντες, ρύεσθαι ἡμᾶς πάσης θλίψεως.

*Καί νῦν. Θεοτοκίον*

Τήν πᾶσαν ἐλπίδα μου, εἰς σέ ἀνατίθημι· Μῆτερ τοῦ Θεοῦ φύλαξόν με ὑπό τή σκέπην σου.

*Ἀπόστιχα.*

*Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ἄπρακτον τοῦ πυρός, τήν δύναμιν οἱ Παῖδες, δείξαντες ἐν καμίνῳ, ἡμᾶς παιδαγωγοῦσι, πρός πράξεις βίου κρείττονος.

*Στιχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.*

Χαίρεται Μισαήλ, καί θεῖε Ἀνανία, ὁμοῦ καί Ἀζαρία, Τριάδος τῆς Ἁγίας, πανευκλεεῖς θεράποντες.

*Στιχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν...*

Ἅμα σύν Δανιήλ, ὦ Παῖδες θοφόροι, πρεσβεύετε ἀπαύστως, πυρκαϊῶν μανίας, ρύεσθαι ἡμᾶς πάντοτε.

*Δόξα. Τριαδικόν.*

Χάρις ἡ πανσθενής, Τριάδος τῆς Ἁγίας, ἡμᾶς δροσοβολοῦσα, ἀφλέκτους διασώζει, ἐν τῇ καμίνῳ Ἅγιοι.

www.tezaurliturgic.ro

*Και νῦν. Θεοτοκίον.*

Τόκον σου τόν σεπτόν, οἱ Ἅγιοι τρεῖς Παῖδες, ἐν τῇ καμίνῳ Κόρη, τυποῦντες παραδόξως, πυρός περιεγένοντο.

Νῦν ἀπολύεις, τό τρισάγιον, τό Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καί ἀπόλυσις.

# Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ

Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

*Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Τούς τρεῖς Παῖδας τιμήσωμεν, Τρισηλίου Θεότητος, τήν ἰσχύν τήν ἄμαχον διαλάμποντας· τοῦ γάρ πυρός δυνατώτεροι, σαφῶς ἀνεδείχθησαν, καί παρέχουσι ἡμῖν, οὐρανόθεν βοήθειαν, τοῖς κραυγάζουσι· Μισαήλ Ἀνανία Ἀζαρία, μή ἐλλείπητε πρεσβεύειν, ὑπέρ ἡμῶν πρός τόν Κύριον.

Τοῦ τυράννου τό πρόσταγμα, οὐδαμῶς κατεπτόησεν, ὑμῶν τήν διάνοιαν Παῖδες Ἅγιοι, ἀλλ᾽ ἀπτοήτῳ φρονήματι, τοῦ πυρός ἐπέβητε, καί ὑμνοῦντες τόν Θεόν, ἀκατάφλεκτοι ὤφθητε, καταφλέγοντες, τήν ὀφρῦν καί τό θράσος τῶν τυράννων, τῷ πυρί τῆς εὐσεβείας, ὡς τοῦ Κυρίου θεράποντες.

Θείῳ φεγγει λαμπόμενοι, ἐντολῶν θείων φύλακες, ἀληθῶς ἐδείχθητε Παῖδες Ἅγιοι, καί ἐν φλογί ἐδοξάσθητε, καμίνου ὡς ἄσαρκοι· διά τοῦτο βοηθοί, καί θερμοί ἀντιλήπτορες, ἀνεδείχθητε, τοῦς πιστοῖς μαχομένοις ἀνενδότως, πρός τό πῦρ τό καταστρέφον, πᾶσαν δομήν τε καί ὕπαρξιν.

www.tezaurliturgic.ro

Συνεργεῖν μή ἐλλείπητε, ἐμπρησμῶν εἰς κατάσβεσιν, τοῖς ὑμῖν προστρέχουσι μετά πίστεως, Ἅγιοι Παῖδες μακάριοι, ὡς χάριν ἐξαίρετον, κεκτημένοι ἐκ Θεοῦ, Ἀνανία Θεόληπτε, Μισαήλ ὁμοῦ, Ἀζαρία καί ρύεσθαι κινδύνων, καί φθορᾶς καί πάσης βλάβης, καί ὀδυνῶν ἡμᾶς πάντοτε.

Ἐν τῇ δρόσῳ τοῦ Πνεύματος, έν φλογί ἀκατάφλεκτοι, ἐν καμίνῳ ὤφθητε Παῖδες Ἅγιοι· διό πυρός πάντα φλέγοντος, ἡμᾶς διασώζετε, βοηθοῦντες νοερῶς, τοῖς αὐτό σβέσαι σπεύδουσιν, ἀφαρπάζοντες, πυρπολύσεως πάσης πανωδύνου, τούς ὑμῶν τήν ταχυτάτην, ἐξαιτουμένους ἀντίληψιν.

Δανιήλ ὁ θαυμάσιος, ὑποφήτης τῆς χάριτος, ἐν Ἁγίῳ Πνεύματι ἀναδέδεικται, καί τρεῖς Παῖδες οἱ Ἅγιοι, Μισαήλ ὁ ἔνδοξος, Ἀνανίας ὁ κλεινός, Ἀζαρίας ὁ ἔνθεος, ξένῳ θαύματι, ἐν καμίνῳ πυρός μεγαλυνθέντες, ἀναμνείσθωσαν συμφώνως, ὡς ἡμῶν πρέσβεις πρός Κύριον.

*Δόξα. Ἦχος πλ. β΄.*

Ἐν ψυχῇ συντετριμμένῃ, καί πνεύματι ταπεινώσεως, ἐν μέσῳ τῆς καμίνου τοῦ πυρός, τόν παγκόσμιον ὕμνον ἐμελωδήσατε, Παῖδες τρισόλβιοι· καί τῆς φωνῆς ὑμῶν εἰσήκουσεν, ὁ ὤν ἐγγύς Κύριος, τοῖς συντετριμμένοις τήν καρδίαν, καί τούς ταπεινούς τῷ πνεύματι σώζων· καί διατηρήσας ἀσινεῖς, προσεδέξατο ὑμᾶς, ὡς θυσίαν καθαράν. Διό ἀπόγονοι Ἀβραάμ τυγχάντες, παῖδες Θεοῦ γενέσθαι ἠξιώθητε. Παρρησίαν οὖν ἔχοντες πρός αὐτόν, ἐκτενῶς πρεσβεύσατε, ὑπέρ εὐσεβῶν πυροσβεστῶν, ἐνισχύοντες αὐτούς, ἐν τῇ κατασβέσει πυρός ὀλεθρίου, καί πᾶσι δίδοσθαι τό θεῖον ἔλεος.

*Καί νῦν. Ὁ αὐτός.*

Δανιήλ ἀνήρ ἐπιθυμιῶν, λίθον ἄνευ χειρός τιμηθέντα, θεωρήσας σε Κύριε, βρέφος ἄνευ σπορᾶς τεχθέντα προηγόρευσε, σέ τόν ἐκ Παρθένου σαρκωθέντα Λόγον, τόν ἀναλλοίωτον Θεόν, καί Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro

Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.

*Προφητείας Δανιήλ τό ἀνάγνωσμα.*

*(Κεφ. α΄. 1 - 7).*

Ἐν ἔτει τρίτῳ τῆς βασιλείας Ἰωακείμ, βασιλέως Ἰούδα, ἦλθεν ὁ Ναβουχοδονόσορ βασιλεύς Βαβυλῶνος εἰς Ἱερουσαλήμ, καί ἐπολιόρκει αὐτήν. Καί ἔδωκε Κύριος ἐν χειρί αὐτοῦ τόν Ἰωακείμ βασιλέα Ἰούδα, καί ἀπό μέρους τῶν σκευῶν οἴκου τοῦ Θεοῦ, καί ἤνεγκεν αὐτά εἰς γῆν Σενναάρ, οἶκον τοῦ Θεοῦ αὐτοῦ, καί τά σκεύη εἰσήνεγκεν εἰς τόν οἶκον θησαυροῦ τοῦ Θεοῦ αὐτοῦ. Καί εἶπεν ὁ βασιλεύς τῷ Ἀσφανέζ τῷ ἀρχιευνούχῳ αὐτοῦ, εἰσαγαγεῖν ἀπό τῶν υἱῶν τῆς αἰχμαλωσίας Ἰσραήλ, καί ἀπό τοῦ σπέρματος τῆς βασιλείας, καί ἀπό τῶν Φορθομμίν, νεανίσκους, οἷς οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος, καί καλούς τῇ ὄψει, καί συνιέντας ἐν πάσῃ σοφίᾳ, καί γιγνώσκοντας γνῶσιν, καί διανοουμένους φρόνησιν, καί οἷς ἔστιν ἰσχύς ἐν αὐτοῖς ἑστάναι ἐν τῷ οἴκῳ ἐνώπιον τοῦ βασιλέως, καί διδάξαι αὐτούς γράμματα και γλῶσσαν Χαλδαίων. Καί διέταξεν αὐτοῖς ὁ βασιλεύς τό τῆς ἡμέρας καθ' ἡμέραν, ἀπό τῆς τραπέζης τοῦ βασιλέως, καί ἀπό τοῦ οἴνου τοῦ ποτοῦ αὐτοῦ, καί θρέψει αὐτούς ἔτη τρία, καί μετά ταῦτα στῆναι ἐνώπιον τοῦ βασιλέως. Καί ἐγένετο ἐν αὐτοῖς ἐκ τῶν υἱῶν Ἰούδα Δανιήλ, καί Ἀνανίας, καί Μισαήλ, και Ἀζαρίας. Καί ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα, τῷ Δανιήλ Βαλτάσαρ, καί τῷ Ἀνανίᾳ Σεδράχ, καί τῷ Μισαήλ Μισάχ καί Ἀζαρίᾳ Ἀβδεναγώ.

*Προφητείας Δανιήλ τό Ἀνάγνωσμα.*

*(Κεφ. γ΄. 1 - 23)*

Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεύς, ἐποίησεν εἰκόνα χρυσῆν, ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων ἕξ, καί ἔστησεν αὐτήν ἐν πεδίῳ Δεειρᾷ, ἐν χώρᾳ Βαβυλῶνος. Καί συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι,

www.tezaurliturgic.ro

στρατηγοί, ἡγούμενοι, τύραννοι μεγάλοι, οἱ ἐπ ἐξουσιῶν; καί πάντες οἱ ἄρχοντες τῶν χωρῶν, εἰς τόν ἐγκαινισμόν τῆς εἰκόνος, ἥν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Καί ὁ κήρυξ ἐβόα ἐν ἰσχύϊ˙ Ὑμῖν λέγεται, ἔθνη, λαοί, φυλαί, γλῶσσαι, ἧ ἄν ὥρα ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καί κιθάρας, σαμβύκης τε και ψαλτηρίου, καί συμφωνίας, καί παντός γένους μουσικῶν, πίπτοντες προσκυνήσατε τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς˙ Και ὅς ἄν μή πεσών προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τήν κάμινον τοῦ πυρός τήν καιομένην. Τότε προσήλθοσαν ἄνδρες Χαλδαῖοι, καί διέβαλον τούς Ἰουδαίους, καί ὑπολαβόντες εἶπον Ναβουχοδονόσορ τῷ βασιλεῖ˙ Βασιλεῦ, εἰς τούς αἰῶνας ζῆθι˙ Σύ Βασιλεῦ ἔθηκας δόγμα, πάντα ἄνθρωπον, ὅς ἄν μή πεσών προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τήν κάμινον τοῦ πυρός τήν καιομένην. Εἰσίν οὖν ἄνδρες Ἰουδαῖοι, οὕς κατέστησας ἐπί τά ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράχ, Μισάχ και Ἀβδεναγώ, οἱ ἄνδρες ἐκεῖνοι οὐχ ὑπήκουσαν, βασιλεῦ τῷ δόγματί σου, καί τοῖς θεοῖς σου οὐ λατρεύουσι, καί τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας, οὐ προσκυνοῦσι. Τότε Ναβουχοδονόσορ ἐν θυμῷ καί ὀργῇ εἶπεν ἀγαγεῖν τόν Σεδράχ, Μισάχ καί Ἀβδεναγώ˙ καί ἤχθησαν ἐνώπιον τοῦ βασιλέως. Καί ἀπεκρίθη Ναβουχοδονόσορ, καί εἶπεν αὐτοῖς˙ εἰ ἀληθῶς Σεδράμ, Μισάχ καί Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε, καί τῇ εἰκόνι τῇ χρυσῇ, ἥ ἔστησα οὐ προσκυνεῖτε; ἐάν δέ μή προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τήν κάμινον τοῦ πυρός τήν καιομένην˙ καί τίς ἐστίν ὁ Θεός, ὅς ἐξελεῖται ὑμᾶς ἐκ χειρός μου; Καί ἀπεκρίθησαν Σεδράχ, Μισάχ, Ἀβδεναγώ, λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ˙ οὐ χρείαν ἔχομεν ἡμεῖς περί τοῦ ρήματος τούτου ἀποκριθῆναί σοι. Ἔστι γάρ ὁ Θεός ἡμῶν ἐν οὐρανῷ, ᾧ ἡμεῖς λατρεύομεν, δυνατός ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρός τῆς καιομένης. Τότε ὁ Βασιλεύς ἐπλήσθη θυμοῦ, καί εἶπεν ἐκκαῦσαι τήν κάμινον ἑπταπλασίως. Καί ἄνδρας ἰσχυρούς ἰσχύϊ εἶπε, πεδήσαντας τόν Σεδράχ, Μισάχ, καί Ἀβδεναγώ, ἐμβαλεῖν εἰς τήν κάμινον τοῦ πυρός τήν καιομένην. Καί ἐβλήθησαν εἰς τό μέσον τῆς καμίνου τοῦ πυρός τῆς καιομένης. Καί τούς ἄνδρας ἐκείνους τούς βαλλόντας Σεδράχ, Μισάχ, καί Ἀβδεναγώ, ἀπέκτεινεν

www.tezaurliturgic.ro

ἡ φλόξ τούς πυρός. Καί οἱ τρεῖς οὗτοι Σεδράχ, Μισάχ και Ἀβδεναγώ, ἔπεσον εἰς μέσον τῆς καμίνου τοῦ πυρός τῆς καιομένης πεπεδημένοι, καί περιπάτουν ἐν μέσῳ τῆς φλογός, ὑμνοῦντες τόν Θεόν, καί εὐλογοῦντες τόν Κύριον.

*Προφητείας Δανιήλ τό Ἀνάγνωσμα.*
*(κεφ. γ'. 24 - 28)*

Καί Ναβουχοδονόσορ ἤκουσεν ὑμνούντων αὐτῶν, καί ἐθαύμασε, καί ἐξανέστη ἐν σπουδῇ, καί εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ, οὐχί τρεῖς ἐβάλομεν εἰς τό μέσον τοῦ πυρός πεπεδημένους; καί εἶπον τῷ βασιλεῖ, ἀληθῶς βασιλεῦ. Καί εἶπεν ὁ βασιλεύς, ἐγώ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους, καί περιπατοῦντας ἐν μέσῳ τοῦ πυρός, καί διαφθορά οὐκ ἔστιν ἐν αὐτοῖς, καί ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ Θεοῦ. Τότε προσῆλθε Ναβουχοδονόσορ πρός τήν θύραν τῆς καμίνου τοῦ πυρός τῆς καιομένης, καί εἶπε· Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου, ἐξέλθετε καί δεῦτε ἔξω· καί ἐξῆλθον Σεδράχ, Μισάχ καί Ἀβδεναγώ ἐκ μέσου τοῦ πυρός, καί ὀσμή τοῦ πυρός οὐκ ἦν ἐν αὐτοῖς· καί προσεκύνησεν ὁ βασιλεύς ἐνώπιον αὐτῶν, καί ἀπεκρίθη Ναβουχοδονόσορ ὁ βασιλεύς, καί εἶπεν· Εὐλογητός ὁ Θεός τοῦ Σεδράχ, Μισάχ, Ἀβδεναγώ, ὅς ἀπέστειλε τόν ἄγγελον αὐτοῦ καί ἐξείλετο τούς παῖδας αὐτοῦ.

*Εἰς τήν Λιτήν, Ἰδιόμελα.*
*Ἦχος α'.*

Ὡς τοῦ νόμου φύλακες, τήν ἐξ ὕψους πανοπλίαν ἐνδυσάμενοι, ξένα και παράδοξα εἰργάσασθε, Παῖδες μακάριοι· του γάρ παμφάγου πυρός, τήν ὁρμήν οὐκ ἐδείσατε, ἀλλ᾽ ἐν μέσῳ τῆς καμίνου, ὡς ἐν λειμῶνι χλοερῷ χορεύοντες, τόν σώζοντα ὑμᾶς Θεόν ὑμνεῖται· οὗ νῦν τῆς δόξης τρυφῶντες, Ἀνανία Ἀζαρία καί Μισαήλ, ἀπαύστως πρεσβεύετε, σώζεσθαι ἡμᾶς πάσης θλίψεως.

www.tezaurliturgic.ro

*Ἦχος β'.*

Τήν τρισαυγῆ τῶν Ἁγίων χορείαν, τήν ἐν μυστηρίῳ ἐκφήνασαν, τῆς Ὑπερθέου Τριάδος τήν ἔλλαμψιν, ὕμνοις καί ᾠδαῖς μακαρίσωμεν· αἰχμάλωτοι γάρ ὄντες, βασιλέως ἀλογίστου θυμόν οὐκ ἐλογίσαντο· τό τοῦ νοός γάρ αὐτεξούσιον, ἀδούλωτον τηροῦντες, τήν τῆς ψυχῆς εὐγένειαν, καί τῆς θείας ἀγάπης τήν ἰσχύν, πᾶσιν ὑπέδειξαν· Ἀλλ' ὦ πανεύφημοι Παῖδες, Μισαήλ καί Ἀζαρία καί Ἀνανία, τῆς παθῶν φλογός ἡμᾶς ρύσασθε, ταῖς πρός Θεό ὑμῶν δεήσεσι.

*Ἦχος γ'.*

Τῇ νηστείᾳ στομωθέντες, καί τῇ τοῦ νόμου τηρήσει πυρσευθέντες, ἔσοπτρα τῆς ἄνωθεν ροπῆς ὤφθητε, Παῖδες θεομακάριστοι· καί ὡς χρυσός ἐν καμίνῳ τοῦ πυρός δοκιμασθέντες, ὡς θυσίαι καθαραί καί λογικαί προσφοραί, Κυρίῳ προσήχθητε, τῷ ἐν ὑμῖν θαυμαστωθέντι ὡς ἐπηγείλατο· ὁ γάρ διώκτης βασιλεύς, ἐξέστη ὁρῶν ὑμᾶς, ἐν φλογί ἀφλέκτους περιχορεύοντας. Ὅθεν δεινῶν ἐμπρησμῶν, ἀσινεῖς ἡμᾶς τηρεῖτε δεόμεθα, ταῖς πρός Χριστόν ὑμῶν δεήσεσι.

*Ἦχος δ'.*

Ὡς τοῦ ἀΰλου πυρός δοχεῖα, διά καθαρωτάτης ζωῆς, τοῦ ὑλικοῦ πυρός δυνατώτεροι ὠράθητε, Ἀνανία Μισαήλ καί Ἀζαρια· ἡ γάρ δρόσος τοῦ Πνεύματος, ἐν ὑμῖν σκηνώσασα, ἀπρακτεῖν ἐν πᾶσι τό πῦρ εἰργάσατο. Διό καί ἡμεῖς, προστάτας ὑμᾶς ἐπιγραφόμενοι βοῶμεν· Δότε ἡμῖν δύναμιν, ἐν τῇ κατασβέσει ὀλεθρίων πυρκαϊῶν, αἰτούμενοι ἡμῖν εἰρήνην, καί τό θεῖον ἔλεος.

*Δόξα. Ἦχος β'.*

Τόν τρισάριθμον δῆμον τῶν Ἁγίων Παίδων, Ἀνανίαν Ἀζαρίαν καί Μισαήλ· τούς φύσεως νόμῳ συνδεδεμένους, καί κράτει πίστεως ἀριστεύσαντας, μελωδικοῖς ἐκπαίνοις κα-

www.tezaurliturgic.ro

ταστέψωμεν· βοηθοί γάρ καί ἔφοροι, καί ἀντιλήπτορες ταχεῖς, τοῖς πυροσβέσταις ὤφθησαν, βοηθοῦντες ἀοράτως, καί παρέχοντες ἀσφάλειαν ζωῆς, ἐν τῇ κατασβέσει τοῦ πυρός. Ἀλλ' ὦ Παῖδες μακάριοι, δέξασθε ἡμῶν τάς ᾠδάς, καί ἀεί ἡμῶν προΐστασθε.

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

*Καί νῦν. Ὁ αὐτός. Προεόρτιον.*

Δεῦτε ἅπαντες, Χριστοῦ τά Γενέθλια, πιστῶς προεορτάσωμεν· καί νοητῶς τόν ὕμνον ὡς ἀστέρα προβαλλόμενοι, Μαγικάς δοξολογίας, μετά Ποιμένων βοήσωμεν· Ἦλθεν ἡ σωτηρία τῶν βροτῶν, ἐκ Παρθενικῆς νηδύος, βροτούς ἀνακαλέσαθαι.

*Εἰς τόν Στίχον Στιχηρά Προσόμοια.*

*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Παίδων τῶν Ἁγίων ἡ τριάς, πᾶσαν συγκαλεῖται τήν κτίσιν, ἐπί τῇ μνήμῃ αὐτῶν· δεῦτε καί προσέλθωμεν, τούτους γεραίροντες· βοηθοί γάρ θερμότατοι, πυρός ἐν κινδύνοις, πάντων ἀνεδείχθησαν, τῶν ἐκβοώντων αὐτοῖς· χαίροις Ἀνανία Θεόφρον, σύν τῷ Μισαήλ Ἀζαρία, θεῖοι τοῦ Παντάνακτος θεράποντες.

*Στίχος. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.*

Ὅτε ἐν καμίνῳ τοῦ πυρός, ψήφῳ ἀπηνοῦς βασιλέως, ἐναπερρίφητε, τότε ἀκατάφλεκτοι, δρόσῳ τοῦ Πνεύματος, ἐν φλογί διεμείνατε, πάντας ἐξιστῶντες, τούτῳ τῷ θεάματι, τῷ θαυμαστῷ ἀληθῶς, Παῖδες τοῦ Θεοῦ θεοφόροι, Μισαήλ ὁμοῦ Ἀνανία, σύν τῷ Ἀζαρίᾳ τῷ θεόφρονι.

*Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις αὐταδέλφων ἡ τρίας, τῶν πυροσβεστῶν οἱ προστάται, καί θεῖοι φύλακες, Μισαήλ θεόληπτε, καί Ἀζαρία

www.tezaurliturgic.ro

κλεινέ, 'Ανανία μακάριε, φωτός θείου σκεύη, καί ὁ ἐνθεώτατος, καί ἱερός Δανιήλ, νόμου πληρωταί τοῦ ἁγίου, καί οἰκονομίας τοῦ Λόγου, μύσται καί προκήρυκες θεόσοφοι.

*Δόξα. Ἦχος πλ. δ'.*

Τό γεηρόν τῆς σαρκός, διά νηστείας ἀποβαλόντες, ἄφλεκτοι ἐμείνατε, ἐν τῇ καμίνῳ ριφέντες τοῦ πυρός· ὅθεν ὁ ἄνους βασιλεύς, τῷ ἐν ὑμῖν θαύματι ἐξεπλάγη, καί θεόν πάσης κτίσεως ὡμολόγει, τόν ἐν ὑμῖν θαυμαστωθέντα Κύριον, Παῖδες τρισμακάριοι. Καί νῦν τῆς δόξης αὐτοῦ, δρῶντες τρανῶς τήν λαμπρότητα, τόν θεῖον ἡμῖν αἰτεῖτε ἱλασμόν, καί τό μέγα ἔλεος.

***Καί νῦν. Ὁ αὐτός. Προεόρτιον.***

Ὑπόδεξαι Βηθλεέμ, τήν τοῦ Θεοῦ Μητρόπολιν· φῶς γάρ τό ἄδυτον, ἐπί σέ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ· ἄνθρωποι δοξάσατε ἐπί τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τό τρισσόκελον δῶρον προσκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τόν τρισάγιον ὕμνον μελωδήσατε. Πᾶσα πνοή, αἰνεσάτω τόν Παντουργέτην.

*Νῦν ἀπολύεις, τό τρισάγιον, καί τό 'Απολυτίκιον.*

*Ἦχος β'. Παλαιόν.*

Μεγάλα τά τῆς πίστεως κατορθώματα...

*Ἕτερον. Ἦχος πλ. α'. Τόν συνάναρχον Λόγον.*

Τῇ τοῦ Πνεύματος δρόσῳ περιχεόμενοι, ἐν φλογί τῆς καμίνου οὐ κατεφλέχθητε, οἱ τρεῖς Παῖδες οἱ κλεινοί καί ἐνθεώτατοι, 'Ανανία Μισαήλ, σύν 'Αζαρία τῷ σεπτῷ, θεράποντες τῆς Τριάδος, πυροσβεστῶν οἱ προστάται, καί πρεσβευταί ἡμῶν πρός Κύριον.

www.tezaurliturgic.ro

*Θεοτόκιον.*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καί σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμήν καί Ἀπειράγαμε, ἡ τεκοῦσα ἐν σαρκί, τόν Ποιητήν σου καί Θεόν, καί πρεσβεύουσα μή ἐλλείπῃς, ὑπέρ τῶν ἀνυμνούντων, καί προσκυνούντων τόν τόκον σου.

*Ἀπόλυσις.*

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετά τήν α'. Στιχολογίαν, Κάθισμα·*

*Ἦχος α'. Τόν τάφον σου Σωτήρ.*

Τριάς ἡ θαυμαστή, τῶν κλεινῶν αὐταδέλφων, ὑμνείσθω παρ' ἡμῶν, μελῳδίαις ἀσμάτων· Τριάδι τῇ Ἁγίᾳ γάρ, θεοφρόνως λατρεύοντες, κατεπάτησαν, πυρός ἀστέκτου τήν φλόγα, καί πρεσβεύουσι, διά παντός τῷ Κυρίῳ, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

*Θεοτόκιον.*

Τοῦ τόκου σου Ἁγνή, τό ἀπόρρητον βάθος, ἀδήλωσαν σαφῶς, ἐν καμίνῳ οἱ Παῖδες· τό πῦρ γάρ τῆς Θεότητος, τήν νηδύν σου οὐκ ἔφλεξε· καί ἐκύησας, σε ἐσαρκωμένον τόν Λόγον, ὑπέρ ἔννοιαν, θεοποιοῦντα Παρθένε, τούς σέ μεγαλύνοντας.

*Μετά τήν β'. Στιχολογίαν, Κάθισμα.*

*Ἦχος γ'. Θείας πίστεως.*

Θείου Πνεύματος, τῇ ἐπομβρίᾳ, οὐκ ἐφλέχθητε, ἐν τῇ καμίνῳ, Ἅγιοι Παῖδες, Κυρίου τρισάριθμοι· ὅθεν ἡμᾶς τῶν πα-

www.tezaurliturgic.ro

θῶν τῆς φλογώσεως, ταῖς προστασίαις ὑμῶν ἐκλυτρώσασθε, ἐξαιτούμενοι, Χριστόν τόν Θεόν μακάριοι, δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

*Θεοτοκίον.*

Βάτος ἄφλεκτος, ἐν τῷ Σιναίῳ, τήν σήν γέννησιν, προδιετύπου, τήν ἀπόρρητον Ἁγνή Μητροπάρθενε· σύ γάρ Χριστόν ὑπέρ λόγον κυήσασα, τῆς ἁμαρτίας τήν φλόγα κατέπαυσας. Ὅθεν Πάναγνε, ὑμνοῦμεν τά μεγαλεῖα σου, δοξάζοντες τό μέγα σου μυστήριον.

***Μετά τόν Πολυέλαιον, Κάθισμα.***

***Ἦχος δ΄. Ταχύ προκατάλαβε.***

Τριάδος τήν δύναμιν, ἐνδεδυμένοι στερρῶς, πυρός κατετόλμησαν, ἀκαταπλήκτῳ ψυχῇ, οἱ Παῖδες οἱ Ἅγιοι· ὅθεν ἐν τῇ καμίνῳ, δροσιζόμενοι θείως, ἤνεσαν τόν Δεσπότην, συμφωνίᾳ ἁγίᾳ· καί νῦν καθικετεύουσιν, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

*Θεοτοκίον.*

Θεόν τόν ἀσώματον, σωματωθέντα ἐκ σοῦ, ἀφράστως κυήσασα, δι᾽ εὐσπλαγχνίαν πολλήν, Παρθένε Πανάμωμε, ἔλυσας τήν κατάραν, τῆς Προμήτορος Εὔας· ἔβλυσας τοῖς ἐν κόσμῳ, εὐλογίας τά ῥεῖθρα· διό σε Θεοτόκον, ἀπαύστως δοξάζομεν.

***Τό α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου καί τό Προκείμενον.***

Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

*Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν...*

**ΕΥΑΓΓΕΛΙΟΝ**

ΚΑΤΑ ΛΟΥΚΑ

Ζήτει αὐτό τῇ Παρασκευῇ τῆς ζ΄ ἑβδομάδος Λουκᾶ.

www.tezaurliturgic.ro

*Ὁ Ν᾽. Δόξα. Ταῖς τῶν σῶν Ἁγίων...*

*Καί νῦν. Ταῖς τῆς Θεοτόκου...*

*Ἰδιόμελον. Ἦχος πλ. β᾽.*

*Στίχος· Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...*

**Ο**ἱ τῆς Τριάδος τῷ φωτί, τήν ἀχλύν τῆς πλάνης σκεδάσαντες, καί τῳ πυρί τοῦ Παρακλήτου, τό ὑλαῖον πῦρ ἀμαυρώσαντες, Ἅγιοι Παῖδες οἱ τρεῖς, πάσης ἀνάγκης καί θλίψεως ἡμᾶς λυτροῦσθε, ταῖς πρός Θεόν ὑμῶν παρακλήσεσιν, αἰτούμενοι πᾶσιν, εἰρηναίαν ζωήν, καί πταισμάντων ἄφεσιν.

*Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου...*

**Ε**ἶτα οἱ κανόνες, τῆς Θεοτόκου, εἰ βούλει καί τόν τοῦ Μηναίου, καί τόν ἑξῆς οὗ ἡ ἀκροστιχίς.

*«Τρισί νεανίαις ὕμνον φέρω. Γερασίμου».*
*Ὠδή α᾽. Ἦχος δ᾽.* Ἀνοίξω τό στόμα μου.

**Τ**ριάς ὁμοούσιε, ταῖς τῶν τριῶν θεραπόντων σου, πρεσβείαις καταύγασον, τόν νοῦν μου δέομαι, καί παράσχου μοι, τῷ στόματι σοφίαν, ὡς ἄν μέλψω ἄξιον, τούτοις μελώδημα.

**Ρ**ημάτων ἠλόγησαν, τῶν δυσσεβῶν οἱ θεόφρονες, καί σέβας προσένειμαν, τῷ ἐπί πάντων Θεῷ· ὅθεν ἄφλεκτοι, ριφέντες ἐν καμίνῳ, τῇ δρόσῳ τῆς χάριτος, διετηρήσαν.

**Ι**δών ὑμᾶς Ἅγιοι, ἐν τῇ καμίνῳ χορεύοντας, Χαλδαίων ὁ τύραννος, καί ὕμνον ἄδοντας, τῷ Παντάνακτι, ἐξέστη καί τόν πάντων, Θεόν ὡμολόγησε, τόν ὑμᾶς σώσαντα.

*Θεοτοκίον.*

**Σ**οφίαν καί Δύναμιν, καί τοῦ Πατρός τό ἀπαύγασμα, τεκοῦσα Πανάμωμε, ἐν εἴδη σώματος, ἀνεκαίνισας, τῆν τῶν

www.tezaurliturgic.ro

βροτῶν οὐσίαν, καί ἄφθορος ἔμεινας, μετά τήν κύησιν.

*Ὠδή γ'.* Τούς σούς ὑμνολόγους.

Ιδόντες ὑμῶν τήν πολιτείαν, Χαλδαίων οἱ πρόκριτοι σοφοί, ἠδέσθησαν μακάριοι, ὑμῶν τά προτερήματα, καί πολλαχῶς ἐτίμησαν, ὡς ἀρετῶν καταγώγια.

Νέοι ὤν τῷ σώματι φρονήσει, ὦ Παῖδες ἐκλάμπετε πολλῇ, οἷα τοῦ νόμου φύλακες, καί ἅπασιν αἰδέσιμοι, τοῖς ἐν Περσίᾳ ὤφθητε, ὡς τοῦ Κυρίου θεράποντες.

Εκ γῆς Ἰουδαίας αἰχμαλώτους, σύν πᾶσι μετήγαγεν ὑμᾶς, ὁ ἄναξ ὁ πολέμιος, τοῖς συμφυλέταις Ἅγιοι, ἀλλ' ὤφθητε ἐλεύθεροι, κατά ψυχήν νόμῳ πίστεως.

**Θεοτοκίον.**

Αφλέκτως Θεότητος τήν φλόγα, συνέλαβες Κόρη ἐν γαστρί, καί ὑπέρ λόγον τέτοκας, δυσί Παρθένε φύσεσι, μιᾷ τῇ ὑποστάσει δέ, τόν Ποιητήν πάσης Κτίσεως.

***Κάθισμα. Ἦχος πλ. δ'. Τήν Σοφίαν καί λόγον.***

Τῆς Τριάδος τῇ πίστει τῇ κραταιᾷ, ἡδρασμένοι τρεῖς Παῖδες οἱ ἱεροί, Ναβουχοδονόσορος, ἀπειλάς οὐκ ἐπτήξατε, καί ἔνδον τῆς καμίνου, οὐδόλως ἐφλέχθητε, ἐμφαίνοντες τοῖς πᾶσι, τό πῦρ τό οὐράνιον. Ὅθεν βοηθεῖτε, ἐμπρησμῶν ἐν ἐκρήξει, τοῖς σπεύδουσιν Ἅγιοι, καταστεῖλαι τόν κίνδυνον, πυροσβέσταις ἑκάστοτε, πρεσβεύοντες Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς τήν σεπτήν ὑμῶν μνήμην φαιδρῶς ἑορτάζουσι.

**Θεοτοκίον.**

Τῆς φρικτῆς σου λοχείας τό θαυμαστόν, Θεοτόκε μυστήριον ἀληθῶς, οἱ Παῖδες οἱ Ἅγιοι, ἐν καμίνῳ προφαίνουσιν ἐν τῇ γαστρί γάρ Κόρη, τό πῦρ τῆς Θεότητος, ἐχώρησας ἀφλέ-

www.tezaurliturgic.ro

κτως, δι᾽ ἄφατον ἔλεος. Ὅθεν οἷα Μήτηρ, τοῦ τῶν ὅλων Δεσπότου, πταισμάτων τήν ἄφεσιν, καί κινδύνων τήν λύτρωσιν, ἡμῖν αἴτει τοῖς κράζουσι· χαῖρε προστασία ἡμῶν, καί ταχεῖα βοηθός ἐν θλίψεσι· χαῖρε πάντων ἀνθρώπων, θερμόν καταφύγιον.

*Ὠδή δ'.* Τήν ἀνεξιχνίαστον Θείαν βουλήν.

Νόμῳ δυναμούμενοι τῷ θεϊκῷ, κράτος ἀνομίας καθείλετε, Ἅγιοι Παῖδες, καί παρέχετε ἀεί, τοῖς πυροσβέσταις δύναμιν, ἐν ταῖς χαλεπαῖς πυρπολήσεσιν.

Ἵνα τήν ταχεῖαν ὑμῶν ἀρωγήν, Παῖδες θεοφόροι κηρύττωμεν, ἰσχύν καί θάρρον, ἐν παντοίοις ἐμπρησμοῖς, δίδοσθε τοῖς προσκάμνουσι, σβέσαι τοῦ πυρός φλόγα ἄστεκτον.

Ἄνω τήν καρδίαν πρός τόν Θεόν, ἔχοντες τόν σώζειν δυνάμενον, Ἅγιοι Παῖδες, σύν τῷ Θείῳ Δανιήλ, περιφανεῖς ἐδείχθητε, ἐν τῇ γῇ Χαλδαίων ἐν ἅπασι.

***Θεοτοκίον.***

Ἴθυνον τόν βίον μου Μῆτερ Θεοῦ, πρός παραγγελμάτων ἐκπλήρωσιν, τῶν θεοσδότων, ἵνα μέτοχος ζωῆς, τῆς αἰωνίου γένωμαι, ὁ θερμῶς προστρέχων τῇ σκέπῃ σου.

*Ὠδή ε'.* Ἐξέστη τά σύμπαντα.

Σοφίᾳ κοσμούμενοι, παντοδαπεῖ μακάριοι, καί καθαρωτάτῃ πολιτείᾳ, ὡς ἐνταλμάτων τῶν θεϊκῶν πληρωταί, τύποι ἐναρέτου ἀγωγῆς, ἅπασιν ὠράθητε, τόν Θεόν μεγαλύνοντες.

Ὑπέρτεροι ὤφθητε, πυρός τοῦ καταφλέγοντος· ὅθεν ἐν πυρί τοῖς πυροσβέσταις, δίδοσθε κράτος ἀκαταμάχητον, οἵπερ, προστάται ἀληθεῖς, τούτων Παῖδες Ἅγιοι, καί μεσῖται πρός Κύριον.

www.tezaurliturgic.ro

Μηδόλως ἐφρίξατε, τό δόγμα τό ἀλλότριον, Ναβουχοδονόσορος τοῦ ἄνου, Ἅγιοι Παῖδες μηδέ καμίνου τό πῦρ· ὅθεν εδοξάσθητε λαμπρῶς, καί πᾶσι περίβλεπτοι, ἐν Κυρίῳ ἐδείχθητε.

*Θεοτοκίον.*

Ναός φωτοστόλιστος, Θεοῦ τοῦ Παντοκράτορος, ὤφθης ὡς Θεῷ ἐκλελεγμένη, πρό τῶν αἰώνων Θεογεννῆτορ Ἁγνή· σάρκα γάρ ἐκ σοῦ ὑπερφυῶς, ὁ Σωτήρ προσείληφε, καί βροτοῖς προσωμίλησε.

*Ὠδή στ΄.* Τήν θείαν ταύτην.

Οἱ τρεῖς οἱ Παῖδες οἱ Ἅγιοι, ὡς θεῖοι τῆς Τριάδος θεράποντες, ἀνευφημείσθωσαν· πυροσβεστῶν γάρ ὑπάρχουσι, προστάται πάσῃ ὥρᾳ, καί ἀντιλήπτορες.

Νόμῳ Θεοῦ κρατυνόμενοι, καί φύσει καί ἀγάπη συνδούμενοι, περιεγένεσθε, αἰχμαλωσίας τῶν θλίψεων, καί ἀπειλῶν παντοίων, Παῖδες μακάριοι.

Φλογός ἀνώτεροι ὤφθητε, ὦ Παῖδες θεοφόροι αὐτάδελφοι· ὅθεν μή παύσησθε, κατά φλογῶν θείαν δύναμιν, ἀνδράσι πυροσβέσται, διδόναι πάντοτε.

*Θεοτοκίον.*

Ἐκ τῶν ἀχράντων αἱμάτων σου, ὑφάνας τῆς σαρκός περιβόλαιον, Θεός ὁ ἄναρχος, διπλοῦς ἐκ σοῦ προελήλυθε, Παρθένε Θεοτόκε, σώζων τόν ἄνθρωπον.

***Κοντάκιον. Ἦχος δ΄.*** Ἐπεφάνης σήμερον.

Ἐν καμίνῳ ἄφλεκτοι τῇ θεία δρόσω, θαυμαστῶς ἐδείχθητε, Ἅγιοι Παῖδες τοῦ Θεοῦ· ὅθεν ἡμᾶς ἐνισχύσατε, ἐν τῷ σβεννύειν φλογῶν τήν ἀνάδοσιν.

www.tezaurliturgic.ro

*Ὁ Οἶκος.*

Τήν τῶν Παίδων χορείαν τήν τρίφωτον, ὁμοφώνως πιστοί μακαρίσωμεν, τῆς Ἁγίας Τριάδος ἐκλάμπουσαν, τήν ἰσχύν καί τό κράτος τό ἄμαχον. Ἀνανίας, γάρ ὁ κλεινός, καί Ἀζαρίας ὁ σεπτός, καί Μισαήλ ὁ ἔνδοξος, ξένα καί παράδοξα, ἐν Βαβυλῶνι εἰργάσαντο, εἰς δόξαν καί αἴνεσιν, τοῦ Σωτῆρος Θεοῦ˙ τοῦ γάρ παμφάγου πυρός τήν ἰσχύν κατεπάτησαν, καί ἄφλεκτοι ἐν μέσῳ τῆς καμίνου, ὕμνουν καί εὐλόγουν τόν σώσαντα Θεόν˙ καί νῦν ταχέως βοηθοῦσι, τοῖς εὐσεβέσιν ἀνδράσι, τοῖς κατά τοῦ πυρός καί παντοίων ἐμπρησμῶν ἀγωνιζομένοις, ἀνενδότῳ καρδίᾳ, καί στερρότητι πολλῇ, ἐν τῷ σβεννύειν φλογῶν τήν ἀνάδοσιν.

*Συναξάριον.*

Τῇ ιζ΄. τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ἁγίων αὐταδέλφων τριῶν Παίδων Ἀνανίου, Ἀζαρίου καί Μισαήλ,προστατών ὄντων τοῦ Πυροσβεστικοῦ Σώματος τῆς Πατρίδος ἡμῶν.

*Στίχος.* Ὡς φλόγα πατήσαντες Ἅγιοι Παῖδες
Πιστοῖς πυροσβέσταις παρέχετε ρώμην.
Ἑβδομάτῃ δεκάτῃ Παῖδες αἰθόμενον πατοῦσι πῦρ.

Οἱ ἅγιοι οὗτοι τρεῖς Παῖδες, κατά τήν ἱστορίαν, ὑπῆρχον ἐκ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, Ἐζεκίου πατρός, καί μητρός Καλλινίκης. Ὅστις Ἐζεκίας ἐτόλμησεν εἰπεῖν τῷ Θεῷ, φυλάξαι τά ἀρεστά ἐνώπιον αὐτοῦ, καί προσθήκη ἔλαβε τῆς ζωῆς, ἔτη δεκαπέντε. Τῆς δέ Ἱερουσαλήμ ὑπό τοῦ Βασιλέως Ἀσυρίων Ναβουχοδονόσορος πολιορκηθείσης, ἀπήχθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα, μετά Δανιήλ τοῦ Προφήτου, καί καθίστανται ἐπιστάται τῶν τοῦ Βασιλέως πραγμάτων διά τήν ἀρετήν αὐτῶν. Εἶτα, ἐξουδενώσαντες τήν εἰκόνα, ἥν ἐποίησε καί ἔστησε, καί μή προσκυνήσαντες, βάλλονται ἐν τῇ ἑπαπλασίως ἐκκαυθείσῃ καμίνῳ˙ ἐν τῇ τοῦ θείου Ἀγγέλου συγκαταβάσει δροσιζόμενοι, ἔψαλλον. Ἔνθα τό παράδοξον ὁ Βασι-

www.tezaurliturgic.ro

λεύς ἰδών, ὡμολόγησε μέγαν εἶναι Θεόν, τόν ὑπ᾽ αὐτῶν ὑμνούμενον. Ἡ γάρ κάμινος μετεποιήθη εἰς δρόσον, καί ἀβλαβεῖς αὐτούς διεφύλαξε.

Τούτους τούς Ἁγίους Παῖδες ἀνεκήρυξε προστάτας καί βοηθούς τό Πυροσβεστικόν Σῶμα τῆς Πατρίδος ἡμῶν, διό καί πανηγυρικῶς ἑορτάζει τήν μνήμην αὐτῶν, καί πάντοτε ἐπικαλεῖται τήν ταχυτάτην αὐτῷ βοήθειαν.

Τῇ αὐτῇ ἡμέρα μνήμη τοῦ Ἁγίου Προφήτου Δανιήλ.

*Στίχος. Ὕπαρ, Θεέ, βλέπει σε νῦν ἐπί θρόνου*
*Τιμηθείς Δανιήλ, οὐκ ὄναρ, καθώς πάλαι.*

Ταῖς αὐτῶν πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον ἡμᾶς, καί βοήθει ἡμῖν ἐν ἐκρήξει ἐμπρησμῶν καί πυρκαϊῶν. Ἀμήν.

*Ὠδή ζ᾽. Οὐκ ἐλάτρευσαν.*

Ρῆμα ἄθεον, τοῦ παρανόμου ἄνακτος, μή λογισάμενοι, ἀλλά τῷ ζῶντι Θεῷ, ἀμέπτως λατρεύοντες, εἰς πῦρ ἐβλήθητε, Παῖδες Ἅγιοι, καί ἄφλεκτοι ἐμείνατε, δροσοβόλῳ ἐπιπνοίᾳ.

Ὡς ταχύτατοι, πυροσβεστῶν ὑπέρμαχοι, Παῖδες μακάριοι, ἐν τοῖς κινδύνοις πυρός, ἀτρώτους φυλάττοντες, τούτους μή παύσησθε, ὡς ἄν πάντοτε, ἐν πεποιθήσει σπεύδωσι, πρός βοήθειαν τοῦ πέλας.

Γνώμην ἄτρεπτον, καί δύναμιν ἀήττητον, Παῖδες μακάριοι, δίδοσθε πᾶσιν ἡμῖν τοῦ σπεύδειν ἑκάστοτε, εἰς συναντίληψιν, τοῖς ἐν θλίψεσι, καί ἐν κινδύνοις πέλουσι, καί πυρκαϊῶν ἐφόδοις.

*Θεοτοκίον.*

Ἐκ λαγόνων σου, δικαιοσύνης Ἥλιος, ἡμῖν ἀνέτειλεν, ὁ Ζωοδότης Χριστός, καί πᾶσαν διέλυσε, πλάνης σκοτόμαι-

www.tezaurliturgic.ro

ναν, ὅν ἱκέτευε, Παρθένε Παναμώμητε διλύειν μου τὸ σκότος.

*Ὠδή η΄. Παίδας εὐαγεῖς.*

**Ρ**είθροις ἀγαθότητος τῆς θείας, ἀφλέκτως ἐν τῇ καμίνῳ ἐμβατεύοντες Ἀνανία ἔνδοξε, Ἀζαρία ἅγιε, καί Μισαήλ μακάριε ὁμοῦ ἐξάδετε· Τόν Κύριον ὑμνεῖτε τά ἔργα, καί ὑπερυψοῦτε, είς πάντας τούς αἰῶνας.

**Α**νωθεν πυροσβεστῶν τό σῶμα, μή παύσητε ἐφορῶντες ὡς φιλάγαθοι, Παῖδες ἁγιώτατοι, σκεύη θείου Πνεύματος, καί θάρρος καί βοήθειαν τούτοις παρέχοντες, πυρός ἐν τοῖς μεγίστοις κινδύνοις, ὡς ἄν βοηθῶσι, τοῖς ἐν ἀνάγκοις οὖσι.

**Σ**ύμφρονες καί σύμφωνοι ἐν πᾶσιν, ὡς ἅγιοι ἀδελφοί και ὁμογνώμονες, Ναβουχοδονόσορος, πρόσταγμα παράνομον, εἰς τέλος ἠκυρώσαστε Παῖδες κραυγάζοντες. Τόν Κύριος ὑμνεῖτε τά ἔργα, καί ὑπερυψοῦτε, εἰς πάντας τούς αἰῶνας.

Θεοτοκίον.

**Ι**να σέ δοξάζω καθ' ἑκάστην, Παρθένε δεδοξασμένη ὁ ἱκέτης σου, ἀδοξίας ρῦσαι με, καί πάσης φυλότητος, παθῶν τῶν τυραννούντων με τῇ ἐπηρείᾳ ἐχθροῦ, και δίδου μοι μετάνοιαν Κόρη, ὅπως μετά τέλος, ζωῆς τῆς ἄνω τύχω.

Ὠδή θ΄ Ἅπας γηγενής.

**Μ**νήμην τήν σεπτήν, ὑμῶν Παῖδες Ἅγιοι πανηγυρίζοντες, οἱ ἐπιγραφόμενοι, ὑμᾶς προστάτας καί ἀντιλήπτορας, ἀπό ψυχῆς κραυγάζομεν. Πάρεστε μέσον ἡμῶν, ἐν ἐκρήξει, ἐμπρησμῶν δεόμεθα, βοηθοῦντες ἡμῖν πρός κατάσβεσιν.

**Ο**ἱ θεοειδεῖς, Κυρίου θεράποντες Παῖδες μακάριοι, Ἀνανία ἔνδοξε, καί Ἀζαρία και Μισαήλ ὁμοῦ, μή παύσησθε πρεσβεύοντες τῷ Πανοικτίρμονι, ἡμῶν δοῦναι, τῶν πταισμάτων ἄφεσιν, καί παντοίων κινδύνων ἐκλύτρωσιν.

www.tezaurliturgic.ro

Υδωρ μυστικόν, τῆς θείας χρηστότητος ἡμῖν ὀμβρήσατε, ὡς νεφέλαι ἔμψυχοι, Ἅγιοι Παῖδες ἀειμακάριστοι, ὡς ἄν παθῶν τήν κάμινον καί πειρασμῶν τήν πυράν, δυσωποῦμεν, θᾶττον καταπαύσωμεν, και πταισμάτων τόν ρύπον ἐκπλύνωμεν.

Θεοτοκίον.

Υψιστον Θεόν, τεκοῦσα ἐν σώματι τόν ἀπερίληπτον, τῆς σαρκός μου Ἄχραντε, τάς φλογιζούσας ὀδύνας ἴασαι, καί τήν ψυχήν μου φώτισον φωτί τῆς χάριτος, ὡς ἄν πάσας, τάς τοῦ σκότους ἄρχοντος, ἀποφύγω ὁρμάς τε καί θέλεμνα.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τῇ τῆς Τριάδος χάριτι, οἱ αὐτάδελφοι Παῖδες, ὁ Ἀνανίας ἅμα τε, Μισαήλ, Ἀζαρίας, ἠρίστευσαν ἐν καμίνῳ, καί ὑπέρτεροι πάντων, πυρός καί πάσης θλίψεως, ἀναδείχθησαν ὄντως· καί νῦν ἡμᾶς, πάσης ἐξαιροῦνται στενοχωρίας, καί πάσης περιστάσεως, τῇ αὐτῶν προστασίᾳ.

*Θεοτοκίον*

Υπερφυῶς ἐκύησας, τόν Ὑπέρθεον Λόγον, καί μετά τόκον ἄφθορος, ἔμεινας ὡς πρό τόκου, Θεοχαρίτωτε Κόρη· καί νῦν τοῦτο οἱ Παῖδες, οἱ τρεῖς προεξεδήλωσαν, ἄφλεκτοι ἐν καμίνω τῇ τοῦ πυρός, μείναντες τῇ δρόσῳ τῇ οὐρανίῳ· οὕς ἀνυμνοῦντες Δέσποινα, τόν σόν τόκον τιμῶμεν.

*Εἰς τούς Αἴνους.*
*Ἱστῶμεν στίχους δ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.*
*Ἦχος α΄.* Τῶν οὐρανίων ταγμάτων.

Τούς τρεῖς ὁμαίμονας Παῖδες ὕμνοις τιμήσωμε, ὁμοῦ σύν Ἀνανία Μισαήλ Ἀζαρίαν· πυρί γάρ τῆς ἀγάπης τῆς τοῦ Θεοῦ, δροσιζόμενοι ἄφλεκτοι, ἐν τῇ καμίνῳ ἐδείχθησαν τοῦ πυρός, καταπλήξαντες τόν τύραννον.

www.tezaurliturgic.ro

Επταπλασίως ἐκαύθη ὑμῖν ἡ κάμινος, ἐν ᾗ χοροβατοῦντες, θεοδόξαστοι Παῖδες, πρός ὕμνον συγκαλεῖτε πᾶσαν πνοήν, τοῦ ὑμᾶς διασώσαντος, ὅν καί Θεόν ὡμολόγησεν ἀληθῆ, ὁ διώκων ὑμᾶς τύραννος.

Πυροσβεστῶν ἐπαρήγειν ἀεί τῷ σώματι, καί δύναμιν καί θάρρος, ἀεί τούτοις παρέχειν, ὁρμῶσι πρός τήν σβέσιν πυρκαϊῶν, μή ἐλλείπητε Ἅγιοι· ὅτι ὑμᾶς ἀντιλήπτορας καί θερμούς, ἐν παντί ἔχομεν φύλακας.

Ἐξ ἐμπρησμῶν ὀλεθρίων ἡμᾶς λυτρώσασθε, καί τούς ἀναχαιτίζειν τοῦ πυρός τοῦ παμφάγου, τήν φλόγα βουλομένοις καί σβέσαι αὐτῆς, τό πανώλεθριον ὅρμημα, παντός ἐγκαύματος σώσατε ἀσινεῖς, δυσωποῦμεν Παῖδες Ἅγιοι.

*Δόξα. Ἦχος πλ. α΄.*

Τῆς ἀληθείας μυσταγωγοί, Παῖδες Ἅγιοι ὤφθητε, αἰχμαλωσίας τά δεινά ὑπεριδόντες, καί τόν νόμον τοῦ Θεοῦ, ἀπαράτρωτον φυλάττειν σπουδάζοντες· καί ἀρετή ὑμῶν ὡς φῶς ἔλαμψε, καί ἡ ἐν καμίνῳ τοῦ πυρός θαυματουργία, πρός δοξολογίαν Θεοῦ, πάντας διήγειρεν. Ἀλλ' ὦ Ἀνανία Ἀζαρία καί Μισαήλ, Ἀγγέλων συνόμιλοι, καί πυροσβεστῶν θερμότατοι ἀρωγοί, βοηθεῖτε ἡμῖν ἐν ἐμπρησμῶν κινδύνοις, καί ρύσασθε ἡμᾶς πάσης ἀνάγκης καί θλίψεως, ταῖς πρός Χριστόν ὑμῶν δεήσεσι.

*Καί νῦν. Ὁ αὐτός. Προεόρτιον.*

Μή στύγναζε Ἰωσήφ, καθορῶν μου τήν νηδύν· ὄψει γάρ τό τικτόμενον ἐξ ἐμοῦ καί χαρήσῃ, καί ὡς Θεόν προσκυνήσεις, ἡ Θεοτόκος ἔλεγε, τῷ ἑαυτῆς Μνηστῆρι, μολοῦσα τοῦ τεκεῖν τόν Χριστόν. Ταύτην ἀνυμνήσωμεν λέγοντες· Χαῖρε Κεχαριτωμένη, μετά σοῦ ὁ Κύριος, καί διά σοῦ μεθ' ἡμῶν.

*Δοξολογία μεγάλη καί ἀπόλυσις.*

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά συνήθη. Ἀπόστολον καί Εὐαγγέλιον ὅρα εἰς τόν Μηνολόγιον.

Κοινωνικόν. Αγαλλιᾶσθαι δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις· Ἀλληλούϊα.

**ΜΕΓΑΛΥΝΑΡΙΟΝ.**

Χαίροις τῶν Ἁγίων Παίδων τριάς, μάκαρ Ἀνανία, Ἀζαρία καί Μισαήλ· χαίρετε προστάται, πυροσβεστῶν αἰτούντων, ὑμῶν τήν προστασίαν, καί τήν βοήθειαν.

*Δίστιχον*

Οἱ τρεῖς Παῖδες δέξασθε τοῦτον τόν ὕμνον

Ὃν ὑμῖν ὕφανε Γεράσιμος ἤδη.

## ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΤΡΕΙΣ ΠΑΙΔΑΣ
## ΑΝΑΝΙΑΝ, ΑΖΑΡΙΑΝ ΚΑΙ ΜΙΣΑΗΛ

Ἰδιαιτέρους προστάτας τοῦ Πυροσβεστικοῦ Σώματος

τῆς Πατρίδος ἡμῶν.

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

Εὐλογήσαντος τοῦ Ἱερέως, τό Κύριε εἰσάκουσον, μεθ' ὅ τό Θεός Κύριος ὡς συνήθως καί τό ἑξῆς τροπάριον.

*Ἦχος δ'.* Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Οἱ ἐν καμίνῳ τοῦ πυρός μή φλεχθέντες, Ἅγιοι Παῖδες τῇ τοῦ Πνεύματος δρόσῳ, τῶν πειρασμῶν τήν φλόγα κα-